ρων ἔδει σοι μαρτύρων· οὕτω γὰρ ἄν σοι συνῄδεσαν
ἀληθῆ λέγοντι, οἵπερ καὶ διαγιγνώσκειν ἔμελλον περὶ
τοῦ πράγματος.
23 Δεινότατα οὖν πάσχω, ὅτ' εἰ μὲν παρέσχετο μάρτυρας,
τούτοις ἂν ἠξίου πιστεύειν, ἐπειδὴ δὲ οὐκ εἰσὶν αὐτῷ,
ἐμοὶ καὶ ταύτην [τὴν] ζημίαν οἴεται χρῆναι γενέσθαι.
καὶ τούτου μὲν οὐ θαυμάζω· οὐ γὰρ δήπου συκοφαντῶν
ἅμα τοιούτων τε λόγων ἀπορήσει καὶ μαρτύρων· ὑμᾶς
24 δ' οὐκ ἀξιῶ τὴν αὐτὴν τούτῳ γνώμην ἔχειν. ἐπίστασθε
γὰρ ἐν τῷ πεδίῳ πολλὰς μορίας οὔσας καὶ πυρκαϊὰς ἐν
τοῖς ἄλλοις τοῖς ἐμοῖς χωρίοις, ἅς, εἴπερ ἐπεθύμουν, πολὺ
ἦν ἀσφαλέστερον καὶ ἀφανίσαι καὶ ἐκκόψαι καὶ ἐπερ-
γάσασθαι, ὅσῳπερ ἧττον τὸ ἀδίκημα πολλῶν οὐσῶν ἔμελλε
25 δῆλον ἔσεσθαι. νῦν δ' οὕτως αὐτὰς περὶ πολλοῦ ποιοῦ-
μαι ὥσπερ ⟨καὶ τὴν πατρίδα⟩ καὶ τὴν ἄλλην οὐσίαν,
ἡγούμενος περὶ ἀμφοτέρων τούτων εἶναί μοι τὸν κιν-
δυνον. αὐτοὺς τοίνυν ὑμᾶς τούτων μάρτυρας παρέξο-
μαι, ἐπιμελουμένους μὲν ἑκάστου μηνός, ἐπιγνώμονας δὲ
πέμποντας καθ' ἕκαστον ἐνιαυτόν· ὧν οὐδεὶς πώποτ'
ἐζημίωσέ μ' ὡς ἐργαζόμενον τὰ περὶ τὰς μορίας χωρία.
26 καίτοι οὐ δήπου τὰς μὲν μικρὰς ζημίας οὕτω περὶ πολ-
λοῦ ποιοῦμαι, τοὺς δὲ περὶ τοῦ σώματος κινδύνους οὕτω
περὶ οὐδενὸς ἡγοῦμαι· καὶ τὰς μὲν πολλὰς ἐλάας, εἰς
ἃς ἐξῆν μᾶλλον ἐξαμαρτάνειν, οὕτω θεραπεύων φαί-
νομαι, τὴν δὲ μίαν, ἣν οὐχ οἷόν τ' ἦν λαθεῖν ἐξορύξαντα,
ὡς ἀφανίζων νυνὶ κρίνομαι.
27 Πότερον δέ μοι κρεῖττον ἦν, ὦ βουλή, δημοκρατίας
οὔσης παρανομεῖν ἢ ἐπὶ τῶν τριάκοντα; καὶ οὐ λέγω ὡς
τότε δυνάμενος ἢ ὡς νῦν διαβεβλημένος, ἀλλὰ τῷ βου-
λομένῳ τότε μᾶλλον ἐξῆν ἀδικεῖν ἢ νυνί. ἐγὼ τοίνυν
οὐδ' ἐν ἐκείνῳ τῷ χρόνῳ οὔτε τοιοῦτον οὔτε ἄλλο οὐδὲν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/78 UNIVERSITÄT LEIPZIG